Socrates asks a teenager whether his parents allow him to drive their chariot

δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπιθυμοῖ;

μὰ Δί' οὐκ ἔμοιγε, ἔφη.

οὐκοῦν εἴ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εὐδαίμονά σε ἐπιθυμοῦσι γενέσθαι, τοῦτο παντὶ τρόπῳ δῆλον ὅτι προθυμοῦνται ὅπως ἂν εὐδαιμονοίης.

πῶς γὰρ οὐχί; ἔφη.

ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν οὐδὲ διακωλύουσι ποιεῖν ὧν ἂν ἐπιθυμῇς;

ναὶ μὰ Δία ἔμέ γε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσιν.

πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακάριον εἶναι διακωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ; ὧδε δέ μοι λέγε. ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίας, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε ἀλλὰ διακωλύοιεν;

μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν.

ἀλλὰ τίνα μήν;

ἔστιν τις ἡνίοχος παρὰ τοῦ πατρὸς μισθὸν φέρων.

πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅτι ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι αὐτοῦ τούτου ἀργύριον τελοῦσιν;

Plato Lysis 207e1-208b1
1B 1 2006

ὀχεῖσθαι - to ride
μισθωτός - someone hired